BA τὴν τέφραν τῶν θυμιαμάτων καὶ ἐπέθηκεν τὴν καρδίαν τοῦ ἰχθύος
καὶ τὸ ἧπαρ καὶ ἐκάπνισεν. [3]ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς 3
ὀσμῆς, ἔφυγεν εἰς τὰ ἀνώτατα Αἰγύπτου, καὶ ἔδησεν αὐτὸ ὁ ἄγγε-
λος. [4]ὡς δὲ συνεκλείσθησαν ἀμφότεροι, ἀνέστη Τωβιας ἀπὸ τῆς 4
κλίνης καὶ εἶπεν Ἀνάστηθι, ἀδελφή, καὶ προσευξώμεθα, ἵνα ἡμᾶς
ἐλεήσῃ ὁ κύριος. [5]καὶ ἤρξατο Τωβιας λέγειν Εὐλογητὸς εἶ, ὁ θεὸς 5
τῶν πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ
ἔνδοξον εἰς τοὺς αἰῶνας· εὐλογησάτωσάν σε οἱ οὐρανοὶ καὶ πᾶ-
σαι αἱ κτίσεις σου. [6]σὺ ἐποίησας Αδαμ καὶ ἔδωκας αὐτῷ βοηθὸν 6
Ευαν στήριγμα τὴν γυναῖκα αὐτοῦ· ἐκ τούτων ἐγενήθη τὸ ἀνθρώ-
πων σπέρμα. σὺ εἶπας Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιή-
σωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ. [7]καὶ νῦν, κύριε, οὐ διὰ πορ- 7
νείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλ᾽ ἐπ᾽ ἀληθείας·
ἐπίταξον ἐλεῆσαί με καὶ ταύτῃ συγκαταγηρᾶσαι. [8]καὶ εἶπεν μετ᾽ 8
αὐτοῦ Αμην. [9]καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα. 9
[10]Καὶ ἀναστὰς Ραγουηλ ἐπορεύθη καὶ ὤρυξεν τάφον λέγων Μὴ 10

8 2 και ult. > A || 3 εις] pr. εως A || 4 ημας / ελ. ο κυρ.] tr. A† | ημας ελ.] tr. compl. || 6 ομοιον > A*† || 7 ταυτη] αυτη B(†) | συγκαταγηρασομε A(†)

---

S ἰχθύος καὶ τὴν καρδίαν ἐκ τοῦ βαλλαντίου, οὗ εἶχεν, καὶ ἐπέθηκεν
ἐπὶ τὴν τέφραν τοῦ θυμιάματος. [3]καὶ ἡ ὀσμὴ τοῦ ἰχθύος ἐκώλυ- 3
σεν, καὶ ἀπέδραμεν τὸ δαιμόνιον ἄνω εἰς τὰ μέρη Αἰγύπτου, καὶ
βαδίσας Ραφαηλ συνεπόδισεν αὐτὸν ἐκεῖ καὶ ἐπέδησεν παραχρῆμα.
[4]καὶ ἐξῆλθον καὶ ἀπέκλεισαν τὴν θύραν τοῦ ταμιείου. καὶ ἠγέρθη 4
Τωβιας ἀπὸ τῆς κλίνης καὶ εἶπεν αὐτῇ Ἀδελφή, ἀνάστηθι, προσ-
ευξώμεθα καὶ δεηθῶμεν τοῦ κυρίου ἡμῶν, ὅπως ποιήσῃ ἐφ᾽ ἡμᾶς
ἔλεος καὶ σωτηρίαν. [5]καὶ ἀνέστη, καὶ ἤρξαντο προσεύχεσθαι καὶ 5
δεηθῆναι ὅπως γένηται αὐτοῖς σωτηρία, καὶ ἤρξατο λέγειν Εὐλογη-
τὸς εἶ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου
εἰς πάντας τοὺς αἰῶνας τῆς γενεᾶς· εὐλογησάτωσάν σε οἱ οὐρα-
νοὶ καὶ πᾶσα ἡ κτίσις σου εἰς πάντας τοὺς αἰῶνας. [6]σὺ ἐποίησας 6
τὸν Αδαμ καὶ ἐποίησας αὐτῷ βοηθὸν στήριγμα Ευαν τὴν γυναῖκα
αὐτοῦ, καὶ ἐξ ἀμφοτέρων ἐγενήθη τὸ σπέρμα τῶν ἀνθρώπων· καὶ
σὺ εἶπας ὅτι Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν
αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ. [7]καὶ νῦν οὐχὶ διὰ πορνείαν ἐγὼ λαμ- 7
βάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλ᾽ ἐπ᾽ ἀληθείας· ἐπίταξον ἐλε-
ῆσαί με καὶ αὐτὴν καὶ συγκαταγηρᾶσαι κοινῶς. [8]καὶ εἶπαν μεθ᾽ 8
ἑαυτῶν Αμην αμην. [9]καὶ ἐκοιμήθησαν τὴν νύκτα. 9
[10]Καὶ ἀναστὰς Ραγουηλ ἐκάλεσεν τοὺς οἰκέτας μεθ᾽ ἑαυ- 10
τοῦ, καὶ ᾤχοντο καὶ ὤρυξαν τάφον· εἶπεν γάρ Μήποτε